THEOMATICS

# 5. Theomatische Werte für Worte / Begriffe (2)

**Textbeispiel:** **Lukas 15:10-22 (mt)**

Quelle: [2]

ουτω λεγω

ὑμῖν, "χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ
ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι."
11 Εἶπε δέ, "Ἄνθρωπός τις εἶχε δύο υἱούς. 12 Καὶ εἶπεν
ὁ νεώτερος αὐτῶν τῷ πατρί, 'Πάτερ, δός μοι τὸ ἐπιβάλλον
μέρος τῆς οὐσίας.' Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. 13 Καὶ μετ'
οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς
ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισε τὴν
οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. 14 Δαπανήσαντος δὲ αὐτοῦ
πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ
αὐτὸς ἤρξατο ὑστερεῖσθαι. 15 Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ
τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς
τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. 16 Καὶ ἐπεθύμει
γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ
χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. 17 Εἰς ἑαυτὸν δὲ ἐλθὼν
εἶπε, 'Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν
ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι! 18 Ἀναστὰς πορεύ-
σομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ, "Πάτερ,
ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, 19 καὶ οὐκέτι
εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ποίησόν με ὡς ἕνα τῶν μισθίων
σου." 20 Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. Ἔτι
δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ
καὶ ἐσπλαγχνίσθη καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. 21 Εἶπε δὲ αὐτῷ ὁ υἱός,
'Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ
οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.' 22 Εἶπε δὲ ὁ πατὴρ
πρὸς τοὺς δούλους αὐτοῦ, 'Ἐξενέγκατε τὴν στολὴν τὴν


Autor:

Del Washburn

Portland, Oregon
USA

Übertragen ins Deutsche, zusammengefasst und getestet von

Kurt Fettelschoß



November 2006

File: theomatics02c

THEOMATICS

# 5. Theomatische Werte für Worte / Begriffe (3)

**Textbeispiel: Lukas 15:22-32 (mt)** Quelle: [2]

πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν
χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας. 23 Καὶ
⸀ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ
φαγόντες εὐφρανθῶμεν, 24 ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν
καὶ ἀνέζησε, °καὶ ἀπολωλὼς ἦν[1] καὶ εὑρέθη.' Καὶ ἤρξαντο
εὐφραίνεσθαι.
25 "Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ. Καὶ ὡς
ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν.
26 Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων,[2] ἐπυνθάνετο τί
ᵀ εἴη ταῦτα. 27 Ὁ δὲ εἶπεν αὐτῷ ὅτι ''Ὁ ἀδελφός σου
ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν,
ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.' 28 Ὠργίσθη δὲ καὶ οὐκ
ἤθελεν εἰσελθεῖν. Ὁ ⸀οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρ-
εκάλει αὐτόν. 29 Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί ᵀ,
''Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου
παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ τῶν
φίλων μου εὐφρανθῶ. 30 Ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ
καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν, ἔθυσας
αὐτῷ τὸν ⸂μόσχον τὸν σιτευτόν⸃.' 31 Ὁ δὲ εἶπεν αὐτῷ,
'Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά
ἐστιν. 32 Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός
σου οὗτος νεκρὸς ἦν καὶ ⸀ἀνέζησε καὶ ἀπολωλὼς[3] °ἦν καὶ
εὑρέθη.' "


Autor:

Del Washburn

Portland, Oregon
USA

Übertragen ins Deutsche, zusammengefasst und getestet von

Kurt Fettelschoß



November 2006

File: theomatics02c